# Ο ΕΠΙΤΑΦΙΟΣ
# ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἐγκώμια ψαλλόμενα εἰς τρεῖς στάσεις σύμφωνα μὲ τὸ Ἡ ζωὴ ἐν τάφῳ κατὰ τὴν ἑορτὴν τῆς Κοιμήσεως τῆς Θεοτόκου.

## ΣΤΑΣΙΣ Α

Ἡ **ζωὴ** ἐν τάφῳ κατετέθης Χριστέ, καὶ ἡ Μήτηρ τῆς Ζωῆς κατατίθεται ξένον θέαμα Ἀγγέλοις καὶ βροτοῖς.

**Μεγαλύνομέν** σε, Θεοτόκε ἁγνή, καὶ τιμῶμεν τὴν ἁγίαν σου Κοίμησιν, καὶ τὸν τάφον προσκυνοῦμεν τὸν σεπτόν.

**Μαριάμ** πῶς Θνήσκεις, ἡ ζωὴ τῶν πιστῶν; πῶς δὲ τάφος τὸ σὸν σῶμα ἐχώρησε, τὸ χωρῆσαν τὸν ἀχώρητον παντί;

**Οὐρανῶν** τεκοῦσα, Βασιλέα Θεόν, εἰς οὐράνια βασίλεια σήμερον, μετατίθεσαι σεμνὴ βασιλικῶς.

**Ἐκ τῆς** γῆς μετέστης, καὶ τῆς γῆς οὐδαμῶς, Παναγία Θεότοκε ἀφέστηκας, ῥυομένη πάντα κόσμον τῶν δεινῶν.

**Πᾶσα** γῆ δοξάζει, τὴν ταφὴν σου Χριστέ, καὶ ὑμνεῖ καὶ τὰ ἐντάφια Δέσποτα, τῆς ἀχράντου σου Μητρός πανευλαβῶς.

**Ἄγγελοι** ὁρῶντες, ἡπλωμένην νεκρὰν, τὴν τῷ κόσμῳ τὴν ζωὴν ἀνατείλασαν, ἐκπληττόμενοι ἐθαύμαζον ἁγνή.

**Ἀπεστάλη** πάλιν, ἐκ Θεοῦ Γαβριὴλ, καὶ τὴν σὴν εὐαγγελίζεται ἔξοδον, ἐπουράνιε ἀκήρατε ἁγνή.

Εἰς νυμφῶνα θεῖον, σὲ τὴν νύμφην Θεοῦ, ὁ Νυμφίος προσκαλεῖται Θεόνυμφε, συνευφραίνεσθαι ἀεὶ θεοπρεπῶς.

**Ἕως** θρόνου θείου, ὅπου φῶς τὸ φρικτὸν, τῆς Τριάδος καὶ ἀπρόσιτον ἔφθασας καὶ κατέπαυσας Παρθένε ἀληθῶς.

**Δόξα Πατρί** . . . . . . . . .

Ἀνυμνοῦμέν Λόγε, σὲ τῶν πάντιων Θεόν, σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σου μορφήν.

**Καί νῦν** . . . . . . . . . . .

Μακαρίζομέν σε, πᾶσαι αἱ γενεαί, Θεοτόκε ἀειπάρθενε Δέσποινα, καὶ δοξάζομεν τὴν Κοίμησιν τὴν σήν.

**(Καὶ πάλιν ὁ πρῶτος Χορός τὸ πρῶτον)**

Ἡ ζωὴ ἐν τάφῳ κατετέθης Χριστέ, καὶ ἡ Μήτηρ τῆς Ζωῆς κατατίθεται ξένον θέαμα Ἀγγέλοις καὶ βροτοῖς.

## ΣΤΑΣΙΣ Β

**Ἄξιόν** ἐστί, μεγαλύνειν σὲ τὸν Ζωοδότην, τὸν ζωηφόρον Μετάστασιν, μεγαλύναντα Μητρός σου τῆς Ἁγνῆς.

**Ἄξιον** ἐστί, μεγαλύνειν σὲ τὴν Θεοτόκον, τὴν ψυχὴν τὴν θείαν καὶ ἄμωμον, ἐν χερσὶ παραθεμένην τοῦ Θεοῦ.

**Ἵστατο** πλῆθυς, καὶ ἐξίστατο πᾶσα Ἀγγέλων, βλέπουσα Θεὸν τὸν ἀπρόσιτον, προσιόντα τῇ Μητρὶ σεμνοπρεπῶς.

**Ἔφριξε** Θεόν, κατερχόμενον πάλιν ὁρῶσα, καὶ ψυχὴν φρικτῶς χειριζόμενον, καὶ ἐν δόξῃ

ανελθόντα θεϊκή.

**Φρίξον** ουρανέ, καὶ σὺ ρήματα γῆ ἐνωτίζου, Θεὸς ὑπὲρ πάντων πρὶν κάτεισι, καὶ νῦν δεύτερον εἰς γῆν ὑπὲρ Μητρός.

**Οἶκον** ἑαυτῆς, μετοικίσασα γῆς ἡ σοφία, πρὸς τὸν ἑαυτῆς ὑπερκόσμιον, νῦν ἐπλήρωσε τῆς δόζης τοῦ Θεοῦ.

**Οὐκ** ἐξ οὐρανοῦ, ἡ Θεόνυμφος Κόρη κατέβη, ἀλλ' εἰς οὐρανοὺς ἀναβέβηκεν, ὡς τεκοῦσαν ἐπουράνιον Θεόν.

**Νῦν** ὁ οὐρανός, βατὸς γέγονε καὶ τοῖς ἀνθρώποις. Δεῦτε χριστοφόροι οὖν ἅπαντες συνέλθωμεν Μητρὶ τῇ τοῦ Θεοῦ.

**Ἔδυς** ὑπὸ γῆν, ἡ ἀνήροτος γῆ τοῦ Κυρίου, στάχυν τῆς ζωῆς ἡ βλαστήσασα, καὶ ἐν χώρᾳ ὑπεξέδυς οὐρανοῦ.

**Ἥλιος** ἰδὼν, πρὶν τὸν Ἥλιον δικαιοσύνης, εἶδε καὶ σελήνην νῦν δύσασαν, τὴν Παρθένον καὶ Μητέρα τοῦ φωτός.

### Δόξα Πατρί .........

Ἄναρχε Θεέ, συναΐδιε Λόγε καὶ Πνεῦμα, ὕψωσον τὸ κέρας Χριστιανῶν, ὡς παντελεήμων καὶ ὡς ὄντος ἀγαθός.

### Καὶ νῦν .........

Τέξασα ζωήν, παναμώμητε Ἁγνὴ Παρθένε, καὶ πρὸς τὴν ζωὴν μεταστᾶσα νῦν, καταξίωσον καὶ πάντας τοὺς πιστούς.

<u>(Καὶ πάλιν ὁ δεύτερος Χορὸς τὸ πρῶτον)</u>

Ἄξιον ἐστί, μεγαλύνειν σὲ τὸν Ζωοδότην, τὸν τὴν ζωηφόρον Μεταστάσιν, μεγαλύναντα Μητρός σου τῆς Ἁγνῆς.

## ΣΤΑΣΙΣ Γ

**Αἱ** γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσφέρουσι Παρθένε.

**Δεῦρο** πᾶσα κτίσις, ὕμνους ἐξοδίους, προσοίσωμεν τῇ Κόρῃ.

**Οἱ** μαθηταὶ Χριστοῦ μου, κηδεύουσι τό σῶμα, Μητρός τῆς τοῦ Θεοῦ μου.

**Ἀγγέλων** Ἀρχαγγέλων, αἱ τάξεις παρεστῶσα συνυμνοῦν ἀοράτως.

**Αἱ** τίμιαι γυναῖκες, μετὰ τῶν Ἀποστόλων, ἐβόων θρηνῳδοῦσαι.

**Ἀπείρανδρε** Παρθένε, Θεοῦ Μῆτερ ὑψίστου, πῶς φέρωμεν τὸ πάθος;

**Ἡ σὴ** νῦν ἐκδημία, χαρὰ παντὶ τῷ κόσμῳ, ἡμῖν δὲ πένθος λύπης.

**Τῆς** σῆς φιλοστοργίας καὶ τῆς κηδεμονίας, μὴ ἀπορφανισθῶμεν.

**Πῶς** γλυκὺ τὸ ὄμμα, τὸ φῶς ἡμῶν Παρθένε, ὑποίσωμεν μὴ βλέπειν.

**Πῶς** τὸ φιλόθεόν σου, καὶ θεολόγον στόμα, σιγῇ φεῦ συνεδέθη;

**Μητρὸς** τοῦ Διδασκάλου, ἡμῶν οὐκ ἀποστῶμεν, Ἀπόστολον ἐβόων.

**Ἐν** νεφέλαις πάλιν, προπέμψωμέν σε Κόρη, ἕως τῶν οὐρανίων.

Ἡ ῥάβδος ἡ ἁγία, τάφῳ κατατεθεῖσα, ζωὴν ἀναβλαστάνει.

Τῷ τάφῳ κατετέθη, ἡ τοὺς νεκροὺς ἐκ τάφων,
ἐγείρασα τῷ τόκῳ.
Ποῦ ἀπαίρεις Μῆτερ; ὁ φίλος καὶ Παρθένος,
υἱοπρεπῶς ἐβόα.
Εἰς τὴν χαρὰν Υἱοῦ σου, ἀπαίρεις Θεομήτωρ,
καὶ γεγήθας καὶ χαίρεις.
Ἡ ἐν Κανᾷ τῷ γάμῳ, νῦν πάλιν προσεκλήθης,
μετὰ τῶν Ἀποστόλων.
**Παράλαβε** Παρθένε, πρὸς τὸ θεῖον σου Τέκνον,
κἀμὲ νῦν τὸν υἱόν σου.

**Δόξα Πατρί......**

Ὦ Τριάς Θεέ μου, Πατὴρ Υἱός καὶ Πνεῦμα,
ἐλέησον τὸν κόσμον.

**Καί νῦν.......**

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου, Παρθένε βασιλείαν,
ἀξίωσον σοὺς δούλους.

<u>(Εἶτα οἱ δύο χοροὶ τό πρῶτον.)</u>

Αἱ γενεαί πᾶσαι, ὕμνον τῇ ταφῇ σου, ποσφέρουσι
Παρθένε.